# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## ΤΗ ΙΕ᾽ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ

† Μνήμη τοῦ Ἁγίου Μεγαλομάρτυρος Νικήτα.

Ἦχος Δι

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τό ὡς ἄνω)

Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θε ος Κυ ρι ος και ε πε φα νεν η μιν ευ λο γη με νος ο ερ χο με νος εν ο νο μα τι Κυ ρι ου

Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τό ὡς ἄνω)

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Ἀπολυτίκιον τοῦ Ἁγίου.

### Ἦχος δ' Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... (Τό ὡς ἄνω)

Ἦχος Δι



στε ο Θε ος σω σον τας ψυ χας η μων

Καὶ νῦν...

Τῆς Ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος α'

Cῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Ἦχος Πα

Cω σον Κυ ρι ε τον λα ον σου και
ευ λο γη σον την κλη ρο νο μι αν σου
νι κας τοις βα σι λε ευ σι κα τα βαρ βα α
ρων δω ρου με νος και το σον φυ λα ατ
των δι α του Σταυ ρου σου πο λι ι τε ευ
μα α α α

Μετὰ τὴν α᾽ Στιχολογίαν.
Κάθισμα Ἦχος α΄
Τοῦ λίθου σφραγισθέντος.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων. Παράδεισον ἠνέῳξας Σωτήρ, τῷ πίστει προσελθόντι σοι Ληστῇ· καὶ τρυφῆς κατηξιώθη, ὁμολογῶν σοι· Μνήσθητί μου Κύριε. Δέξαι ὥς περ ἐκεῖνον καὶ ἡμᾶς, κραυγάζοντας· Ἡμάρτομεν, πάντες τῇ εὐσπλαγχνίᾳ σου, μὴ ὑπερίδῃς ἡμᾶς.

Δόξα... Καὶ νῦν... τὸ αὐτὸ

Μετὰ τὴν β΄ Στιχολογίαν.
Κάθισμα Ἦχος α΄
Τὸν τάφον σου Σωτὴρ.

Ἁπλώσας ἐν Σταυρῷ, τὰς παλάμας Οἰκτίρμον, τὰ ἔθνη τὰ μακράν, ἀπὸ σοῦ γεγονότα, συνήγαγες δοξάζειν σου, τὴν πολλὴν ἀγαθότητα· ἀλλ᾽ ἐπίβλεψον, ἐπὶ τὴν σήν κληρουχίαν, καὶ κατάβαλε, τοὺς καθ΄ ἡμῶν πολεμίους, Σταυρῷ τῷ τιμίῳ σου.

Δόξα... Καὶ νῦν... τὸ αὐτὸ

Ὁ Ν΄ ψαλμός χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα ὁ Κανόνας τῆς Ἑορτῆς
Ὠδὴ α'
Ἦχος πλ. δ'
Ὁ Εἱρμός.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ᾽ εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι, τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν· ἐπ᾽ εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον, διὸ Χριστῷ ᾄσωμεν· τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν τύπον πάλαι Μωσῆς, τοῦ ἀχράντου πάθους, ἐν ἑαυτῷ προέφηνε, τῶν ἱερῶν μεσούμενος, Σταυρῷ δὲ σχηματισθείς, τεταμέναις τρόπαιον, παλάμαις ἤγειρε, τὸ κράτος διολέσας, Ἀμαλὴκ τοῦ πανώλους· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀνέθηκε Μωϋσῆς, ἐπὶ στήλης ἄκος, φθοροποιοῦ λυτήριον, καὶ ἰοβόλου δήγματος· καὶ ξύλῳ τύπῳ Σταυροῦ, τὸν πρὸς γῆν συρόμενον, ὄφιν προσέδησεν, ἐγκάρσιον ἐν τούτῳ, θριαμβεύσας τὸ πῆμα· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὑπέδειξεν οὐρανός, τοῦ Σταυροῦ τὸ τρόπαιον, τῷ εὐσεβείας κράτορι, καὶ Βασιλεῖ θεόφρονι, ἐχθρῶν ἐν ᾧ δυσμενῶν, κατεβλήθη φρύαγμα· ἀπάτη ἀνετράπη δέ· καὶ πίστις ἐφηπλώθη, γῆς τοῖς πέρασι θεία· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Εἶτα ὁ Κανὼν τοῦ μηναίου
ᾨδὴ α' Ἦχος δ'
Θαλάσσης τὸ ἐρυθραῖον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νεκρώσας, τὸ τῆς σαρκός μου φρόνημα, τὸν νοῦν καταύγασον, φωτιστικῇ λαμπρότητι τὴν σήν, ἀνυμνῆσαι πανήγυριν, ὡς νικητὴς πανάριστος, καθικετεύων ὦ Νικῆτα Χριστόν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰὸν τὸν ἐκ τῶν παθῶν γενόμενον, ἀποτιθέμενος, τοὺς αἰκισμοὺς ὑπέμεινας στεῤῥῶς, καὶ χιτῶνα τὸν ἔντιμον, μαρτυρικῶς ἐνδέδυσαι, ἐκ σῶν αἱμάτων ὑφαινόμενον.

Δόξα...

Καινήν τε, καὶ θαυμασίαν ἔδειξας, ὁδὸν ἀθλήσεως, ὑπὲρ ἡμῶν τῷ ξύλῳ προσπαγείς· ἀπαρχὴ γὰρ γεγένησαι, τῆς τῶν Μαρτύρων Δέσποτα, ὁμολογίας καὶ στεῤῥότητος.

Καὶ νῦν... Θεοτοκίον.

Ἡ πύλη, τῆς πρὸς ἡμᾶς σου Κύριε, συγκαταβάσεως, ἀνατολὴν καὶ ἥλιον καὶ φῶς, μυστικῶς σε καλούμενον, ὑπερφυῶς ἐξήστραψε, διπλοῦν τῇ φύσει τὸν φιλάνθρωπον.

Εἶτα ὁ Κανόνας τῆς Ἑορτῆς
Ὠδὴ γ' Ἦχος πλ. δ' Ὁ Εἱρμός.

Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα, τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησία νῦν ἐξήνθησε, ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα. (Δὶς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὡς ἐπαφῆκε ῥαπιζομένη ὕδωρ ἀκρότομος, ἀπειθοῦντι λαῷ, καὶ σκληροκαρδίῳ, τῆς θεοκλήτου ἐδήλου, Ἐκκλησίας τὸ μυστήριον, ἧς ὁ Σταυρός, τὸ κράτος καὶ στερέωμα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πλευρᾶς ἀχράντου λόγχῃ τρωθείσης, ὕδωρ σὺν αἵματι ἐξεβλήθη, ἐγκαινίζον διαθήκην, καὶ ῥυπτικὸν ἁμαρτίας· τῶν πιστῶν γὰρ Σταυρὸς καύχημα, καὶ Βασιλέων κράτος καὶ στερέωμα.

Εἶτα ὁ Κανὼν τοῦ μηναίου
ᾨδὴ γ΄ Ἦχος δ΄
Εὐφραίνεται ἐπὶ σοὶ.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Στερρότητι τῆς ψυχῆς, τὰς τῶν τυράννων ἀπειλὰς ἔφερες, Μάρτυς Χριστοῦ ἔνδοξε, θείᾳ δυναστείᾳ ῥωννύμενος.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σαρκός σου τὸν σκορπισμόν, καὶ τῶν μελῶν τὴν ἐκκοπὴν ἤνεγκας, Μάρτυς Χριστοῦ πανεύφημε τὴν δὲ σὴν ψυχὴν συνεκρότησας.

Δόξα...

Εὐφραίνεται ἐπὶ σοί, ὁ τῶν Μαρτυρων τοῦ Χριστοῦ σύλλογος, μνήμην τὴν σὴν σήμερον, ἐπιτελουμένην θεώμενος.

Καὶ νῦν... Θεοτοκίον.

Μαρία τὸ καθαρόν, τῆς παρθενίας καὶ σεπτὸν σκήνωμα, τὰ χαλεπὰ τραύματα, τῆς ἐμῆς καρδίας θεράπευσον.

ᾨδὴ γ΄, τοῦ Μηναίου
Ὁ Εἱρμὸς. Ἦχος δ΄

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα».


Ἦχος
Ευ φραι νε ται ε πι σοι η Εκ κλη σι α
σου Χρι στε κρα ζου σα συ μου ι σχυς Κυ ρι ε
και κα τα φυ γη και στε ρε ω μα α α α

Κάθισμα Ἦχος δ'
Ταχὺ προκατάλαβε.

Τῶν πόνων μακάριε, κατατρυφῶν τῆς σαρκός, τὴν θείαν καὶ ἄπονον, ἐν Παραδείσῳ τρυφήν, ἀξίως ἀπείληφας, στέφος ἀθανασίας, ἐκ Θεοῦ δεδεγμένος· ὅθεν καὶ τῶν θαυμάτων, ποταμοὺς ἀναβλύζεις, τοῖς πόθῳ καταφεύγουσι, Μάρτυς τῇ σκέπῃ σου.

Δόξα... Καὶ νῦν... Θεοτοκίον ὅμοιον.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν πῶς ἰσχύει, Ὀρθοδόξων ἡ πίστις, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ὠδὴ στ', τοῦ Μηναίου
Ἦχος δ'.
Ὁ Εἱρμὸς

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ Δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι».

Ἦχος $\lambda^{\Gamma\tau o\varsigma}$




σε ως Κυ ρι ε η Εκ κλη σι α βο α σοι
εκ δαι μο νων λυ υ θρου κε κα θαρ με νη
τω δι οι κτον εκ της πλευ ρας σου ρευ σαν τι
αι μα τι ι ι ι

Κοντάκιον Ἦχος β΄
Τὰ ἄνω ζητῶν.

Τῆς πλάνης τεμών, τὸ κράτος τῇ ἐνστάσει σου, καὶ νίκης λαβών, τὸ στέφος τῇ ἀθλήσει σου, τοῖς Ἀγγέλοις ἔνδοξε, συναγάλλῃ Νικῆτα φερώνυμε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Γνῶσιν ἐνθεὶς τὴ ψυχή μου, κάθαρόν μου τὴν φρένα καὶ τῶν σῶν ἐντολῶν ἐργάτην Σῶτερ ἀνάδειξον, ἵνα ἰσχύσω καταπαλαῖσαι τὰς ποικίλας τῶν παθῶν μου ἐπαναστάσεις, νικητικὸν ἀφθαρσίας βραβεῖόν τε δέξασθαι, πρεσβείαις τοῦ σοῦ γενναίου ἀθλοφόρου Νικήτα, φιλάνθρωπε· καὶ γὰρ αὐτὸς ἡμᾶς ἐν τῇ μνήμῃ αὐτοῦ συνεκαλέσατο, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Συναξάριον.

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, Ἄθλησις τοῦ Ἁγίου Μεγαλομάρτυρος Νικήτα.

Στίχοι

Φλέγῃ, Νικῆτα, καὶ γίνῃ νικηφόρος,
Ἢ μᾶλλον εἰπεῖν, πυρφόρος νικηφόρος.
Πέμπτῃ καὶ δεκάτῃ καμίνῳ βλήθη Νικήτας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Φιλοθέου Πρεσβυτέρου καὶ θαυματουργοῦ.

Στίχοι

Ζήσας ὁ Φιλόθεος ὡς Θεῷ φίλος.
Ζωὴν ἄληκτον εὗρε σύν Θεῷ φίλοις.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ἁγίου Πορφυρίου τοῦ ἀπὸ Μίμων.

Στίχοι

Βάπτισμα παῖξαι προτραπείς, παίζεις πλάνην,
Ῥύπτῃ δὲ Πορφύριε, καὶ τέμνῃ ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ Ἁγίου Ἀκακίου Ἐπισκόπου Μελιτηνῆς.

Στίχοι

Τιμῶντες ἡμεῖς εὕρεσιν σοῦ λειψάνου,
Εὕροιμεν Ἀκάκιε τῶν κακῶν λύσιν.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Μάξιμος ξίφει τελειοῦται.

Στίχοι

Χριστὸν θεωρῶν σοι προτείνοντα στέφος,
Τὴν σὴν προτείνεις Μάξιμε ξίφει κάραν.

Τῇ αὐτῇ ἡμέρᾳ, αἱ Ἅγιαι δύο Κόραι ξίφει τελειοῦνται.

Στίχοι

Γνώμην ἔχουσαι καὶ προθυμίαν μίαν,
Κόραι δύο κλίνουσιν αὐχένας ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ εὕρεσις τοῦ λειψάνου τοῦ Ἁγίου Πρωτομάρτυρος Στεφάνου.

Στίχοι

Εὕρημα κοινὸν ὁ Στέφανος τῇ κτίσει,
Θεοῦ μεγίστου πρωταγωνιστὴς μέγας.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Βησσαρίων ἀρχιεπίσκοπος Λαρίσσης ἐν εἰρήνῃ τελειοῦται.

Ὁ ὅσιος Γεράσιμος, ὁ κτίτωρ τῆς μονῆς τῆς ἁγίας Τριάδος τῆς ἐπονομαζομένης Σουρβιᾶς, τῆς παρὰ τὴν Μακρυνίτσαν τῆς Ζαγορᾶς, ἐν εἰρήνῃ τελειοῦται.

Ὁ ἅγιος νεομάρτυς, Ἰωάννης ὁ Κρής, ὁ μαρτυρήσας ἐν τῇ νέᾳ Ἐφέσῳ κατὰ τὸ 1811, ξίφει τελειοῦται.

Ταῖς τῶν σῶν Μαρτύρων εὐχαῖς, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ η', τοῦ μηναίου

Ἦχος δ'

Ὁ Εἱρμὸς

Στίχ. Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον,

Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταί, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἦχος λ τος λ






Τὴν Θεοτόκον καὶ Μητέρα

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Τιμιωτέρα Ἦχος

Στίχος α′ Με γα λυ νει η ψυ χη μου
τον Κυ ρι ον και η γαλ λι α σε το
πνευ μα μου ε πι τω Θε ω ω τω σω
τη ριμου

Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν

Στίχος β′ Ο τι ε πε βλε ψεν ε πι την

τα πει νω σιν της δου λης αυ του ι δου

γαρ α πο του νυν μα κα ρι ου σι με πα

σαι αι γε νε αι

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος γ΄ Ο τι ε ποι η σε μοι με γα

λει α ο δυ να τος και α γι ον το

ο νο μα αυ του και το ε λε ος αυ του


εις γε νε αν και γε νε αν τοις φο βου
με νοις αυ τον
Την Τι μι ω τε ραν των Χε ρου βιμ και
εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ
την α δι α φθο ρως Θε ον Λο γον τε κου
σαν την ον τως Θε ο το κον σε με γα λυ νο
μεν
Στίχος δ'
Ε ποι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε
ρη φα νους δι α νοι α καρ δι ας αυ των
Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα φιμ

την α δι α φθο ρως Θε ον Λο γον τε κου

σαν την ον τως Θε ο το κον σε με γα λυ νο

μεν

Στίχος ε΄ Κα θει λε δυ να στας α πο θρο

νων και υ ψω σε τα πει νους πει νων τας ε

νε πλη σεν α γα θων και πλου του ουν τας ε

ξα πε στει λε κε νους

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ

νο μεν

Στίχος στ΄ Ἀν τε λα βε το Ισ ρα ηλ παι

δος αυ του μνη σθη ναι ε λε ους κα θως

ε λα λη σε προς τους πα τε ρας η μων

τω Α βρα αμ και τω σπερ μα τι αυ του ε

ως αι ω νος

Την Τι μι ω τε ραν των Χε ρου βιμ και

εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα

φιμ την α δι α φθο ρως Θε ον Λο γον τε

κου σαν την ον τως Θε ο το κον σε με γα λυ




Εἶτα ψάλλεται ἡ θ΄ ᾠδὴ τοῦ Μηναίου

Ἦχος δ΄.

Ὁ Εἱρμὸς

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις· διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἦχος λ γος



# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ



Ἐξαποστειλάριον τοῦ Μάρτυρος.
Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὡς ἐτροπώσω πάνσοφε, τοῦ Σταυροῦ τῇ δυνάμει, βαρβαρικὴν θρασύτητα, καὶ τυράννων μανίαν, στῆσον γενναῖε Νικῆτα, καὶ ἡμῶν ταῖς εὐχαῖς σου, τὰ τῆς σαρκὸς κινήματα, καὶ παθῶν τὰς ἐφόδους, ἁμαρτιῶν, λύσιν παρεχόμενος, ἀθλοφόρε, ὡς παρρησίαν ἄπλετον, πρὸς Θεὸν κεκτημένος.

Καὶ τῆς Ἑορτῆς.
Τῶν Μαθητῶν ὁρώντων σε.

Σταυρός, ὁ φύλαξ πάσης τῆς οἰκουμένης· Σταυρός, ἡ ὡραιότης τῆς Ἐκκλησίας· Σταυρός, Βασιλέων τὸ κραταίωμα· Σταυρὸς πιστῶν τὸ στήριγμα· Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

## ΑΙΝΟΙ

## ΨΑΛΜΟΣ ΡΜΗʹ (148)

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις.

Αἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.

Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.

Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.

Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.

Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.

Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.

Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.

Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.

Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.

Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

## ΨΑΛΜΟΣ ΡΜΘ΄ (149)

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ Ὁσίων.

Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.

Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ , ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.

Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.

Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.

Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν,

ἐλεγμοὺς ἐν τοῖς λαοῖς.

Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον, δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΝ΄ (150)

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ .

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλλαλαγμοῦ, Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα... Καὶ νῦν...

Ὁ προεστώς:

Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἀναγνώστης χῦμα τό:

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμεν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε Βασιλεῦ, ἐπουράνιε Θεέ, πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ Υἱός τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου.

Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου.

Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.

Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ διάκονος:

Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί

τῶν πλημμελημάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι Θεός ἐλέους, οἰκτιρμῶν, καὶ

φιλανθρωπίας ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπωμεν, τῷ Πατρὶ καὶ τῷ Ὑιῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αιῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ χορός: Καὶ τῷ πνεύματί σου.

ὁ διάκονος: Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός: Σοί, Κύριε.

Ὁ Ἱερεύς: Τὴν εὐχὴν τῆς κεφαλοκλισίας......

Ὁ Ἱερεύς: Σὸν γὰρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός: Ἀμήν.

Καὶ ἀρχόμεθα ψάλλειν τὰ Ἀπόστιχα τῶν Αἴνων τοῦ μηναίου
Ἦχος β΄ Οἶκος τοῦ Ἐφραθᾶ.

Σήμερον τοῦ Χριστοῦ, ὁ Σταυρὸς ἀνυψοῦται, τὸ ζωηφόρον ξύλον, ἐν ᾧ σαρκὶ ἐπάγη, πάντας ἀνακαλούμενος.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.

Χαίροις τὸ τῶν πιστῶν, φυλακτήριον θεῖον, ἀπροσμάχητον τεῖχος, Σταυρὸς ὁ τοῦ Κυρίου, δι΄ οὗ ἀπὸ γῆς ἤρθημεν.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Δεῦτε χαρμονικῶς, ἀσπασώμεθα πάντες, τὸ σωτήριον ξύλον, ἐν ᾧ ἐξετανύθη, Χριστὸς ἡ ἀπολύτρωσις.

Δόξα... Ἦχος πλ. β΄
Ἦχος Πα.




Ϲη η με ε ρον η οι κου με ε ε νη η
πα α α σα τη του α θλο ο φο ο ο ρου α
α γα αλ λε ται αι α θλ η η η σει και
η του Χρι στου Ε ε εκ κλη η σι ι ι α
τοι οις αν θε ε σι ιν ω ρα ι ζο με ε ε
ε νη Χρι ι στο ο μα α αρ τυ υς βο α α α
α σοι θε ρα α α α α πον Χρι ι στου και προ
στα τα θερ μο ο ο ο τα α τε ε ε
ε ε ε ε ε ε ε ε μη ελ λι πη ης πρε
ε σβε ε ευ ειν υ πε ερ των δου ου ου λω
ω ω ων σου

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ




ρον φυ ρα α μα εκ της εις γη η η ην κα
τα πτω ω σε ω ως εις ου ρα νου ους πο ο
ο λι τε ευ ε ε ε ε ται δι ι ο ο
ευ χα ρι ι στως βο η η σω ω ω ω μεν
Κυ υ ρι ι ε ο υ ψω θει ει ει ει εις
ε εν α α αυ τω και δι αυ του συ να
νυ ψω ω ω ω σας η η μας της ου ρα νι
ι ι ου χα α ρα α α α α α α α α
α ας α ξι ι ω ω σον του ους υ μνου
ου ου τα α α ας σε ε ε ε ε

Καὶ νῦν... Ἦχος πλ. β'

**Σ**ήμερον τὸ φυτὸν τῆς ζωῆς ἐκ τῶν τῆς γῆς ἀδύτων ἀνιστάμενον, τοῦ ἐν αὐτῷ παγέντος Χριστοῦ, πιστοῦται τὴν ἀνάστασιν· καὶ ἀνυψούμενον χερσὶν ἱεραῖς, τὴν αὐτοῦ πρὸς οὐρανούς, καταγγέλλει ἀνύψωσιν, δι' ἧς τὸ ἡμέτερον φύραμα, ἐκ τῆς εἰς γῆν καταπτώσεως, εἰς οὐρανοὺς πολιτεύεται· διὸ εὐχαρίστως βοήσωμεν, Κύριε, ὁ ὑψωθεὶς ἐν αὐτῷ, καὶ δι' αὐτοῦ συνανυψώσας ἡμᾶς, τῆς οὐρανίου χαρᾶς ἀξίωσον τοὺς ὑμνοῦντάς σε.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα.

Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (ἐκ γ΄)

Δόξα... Καὶ νῦν ...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα... Καὶ νῦν ...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἱερεύς: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Ἀπολυτίκιον τοῦ Ἁγίου.
## Ἦχος δ' Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα... Καὶ νῦν ...

## Τῆς Ἑορτῆς.
## Ἀπολυτίκιον. Ἦχος α'

Σῶσον Κύριε τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

## Τῆς Ἑορτῆς.
## Ἀπολυτίκιον. Ἦχος α'

Ἦχος Πα



νι κας τοις βα σι λε ευ σι κα τα βαρ βα α

ρων δω ρου με νος και το σον φυ λα ατ

των δι α του Σταυ ρου σου πο λι ι τε ευ

μα α α α

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

Εἰς τὴν Θείαν Λειτουργίαν

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ' Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Ἀντίφωνα τοῦ Σταυροῦ

### Ἀντίφωνον Α΄

### Ἦχος Δι



η με ρας και ουκ ει σα κου ση

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Στιχ. δ'

Συ δε εν Α γι ω κα τοι

κεις ο ε παι νος του Ισ ρα ηλ

Ταις πρε σβει αις της Θε ο το κου Σω

τερ σω σον η μας

Δόξα... Καὶ νῦν...

Ταις πρε σβει αις της Θε ο το ο κου Σω

τερ σω σον η μα α ας

## Ἀντίφωνον Β΄


Α μη ην
Στίχ. α΄ Ι να τι ο Θε ος μου α πω σω εις τε λος
Σω σον η μα ας Υι ε Θε ου ο σαρ κι ι ι ι σταυ ρω θεις ψαλ λον τας σοι αλ λη λου ι α
Στίχ. β΄ Μνη σθη τι της συ να γω γης σου ης ε κτη σω απ αρ χης
Σω σον η μα ας Υι ε Θε ου ο σαρ κι ι ι ι σταυ ρω θεις ψαλ λον τας σοι αλ

λη λου ι α

Στίχ. γ΄ Ο ρος Σι ων του το ο κα

τε σκη νω σας εν αυ τω

Σω σον η μας Υι ε Θε ου ο σαρ

κι ι ι ι σταυ ρω θεις ψαλ λον τας σοι αλ

λη λου ι α

Στίχ. δ΄ Ο δε Θε ος Βα σι λευς η μων

προ αι ω νων ηρ γα σα το

Σω σον η μας Υι ε Θε ου ο σαρ

κι ι ι ι σταυ ρω θεις ψαλ λον τας σοι αλ

λη λου ι α


Δο ξα Πα τρι και Υι ω και Α γι
ω Πνευ μα τι
Και νυν και α ει και εις τους αι αι
ω νας των αι αι ω νων Α μην
Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι ι αν σαρ κω θη
ναι εκ της Α γι ας Θε ο το κου και α
ει παρ θε νου Μα ρι ας α τρε ε πτως
ε εν αν θρω πη σας σταυ ρω θεις τε Χρι


στε ο Θε ος θα να α τω ω θα να τον πα
τη σας ει εις ων της Α γι ας Τρι α δος
συν δο ξα ζο ο με νος τω Πα τρι και τω
Α γι ω Πνευ μα τι σω σον η μα α
ας

## Ἀντίφωνον Γ´

Ἦχος Πα




Στίχ. Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλὸς ἐστι. ( τό ὡς ἄνω )

Στίχ. Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.


Σω σον Κυ ρι ε τον λα ον σου και
ευ λο γη σον την κλη ρο νο μι αν σου
νι κας τοις βα σι λε ευ σι κα τα βαρ βα α
ρων δω ρου με νος και το σον φυ λα ατ
των δι α του Σταυ ρου σου πο λι ι τε ευ
μα α α α

# Εἰσοδικόν

Ἦχος Δι

Δε ευ τε προ σκυ νη σω μεν και προ
σπε ε σω ω με εν Χρι στω ω ω ω ω Σω
σον η μα ας Υι ε Θε ου ο σαρ κι ι ι ι
σταυ ρω θεις ψαλ λον τας σοι αλ λη λου ι
α

## Ἀπολυτίκιον τοῦ Σταυροῦ

Ἦχος Πα

Σω σον Κυ ρι ε τον λα ον σου και
ευ λο γη σον την κλη ρο νο μι αν σου
νι κας τοις βα σι λευ σι κα τα βαρ βα α
ρων δω ρου με νος και το σον φυ λα ατ
των δι α του Σταυ ρου σου πο λι ι τε ευ
μα

## Ἀπολυτίκιον τοῦ Ἁγίου.
## Ἦχος δ΄ Ταχὺ προκατάλαβε.

Ὁ Μάρτυς σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτοῦ, τὸ στέφος ἐκομίσατο τῆς ἀφθαρσίας, ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχων γὰρ τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλεν, ἔθραυσε καὶ δαιμόνων, τὰ ἀνίσχυρα θράση. Αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

### Ἦχος Δι






Ἀπολυτίκιον τοῦ Ναοῦ.

## Κοντάκιον τοῦ Σταυροῦ
### Ἦχος Δι



# ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΡΙΤΗ ΙΕ΄ ΕΒΔΟΜΑΔΟΣ

Προκείμενον. Ἦχος βαρὺς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 5:11-21

Ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ Σταυροῦ. Ὄφελον, καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. Ὑμεῖς γὰρ ἐπ΄ ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ ΄Αγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ΄ ἀλλήλων ἀναλωθῆτε. Λέγω δέ, πνεύματι περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα γὰρ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ, ἃ ἐὰν θέλητε ταῦτα ποιῆτε. Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. Φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός· ἅτινά ἐστι μοιχεία,

πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Ἀλληλούϊα Ἦχος β΄

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.

### Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.

Ἦχος πα Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Σοι Κυ ρι ε
Α μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σȣ
Σοι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Σοι Κυ ρι ε ε ε ε ε ε
Α α α μην

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

## ΕΙΣ ΑΓΙΟΣ

Ἦχος πα Πα Ἐναρμόνιος




Ἦχος
Ει ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ



# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΣΟΕΟΡΤΟΣ

Χριστέ το φῶς τό ἀληθινόν.

Ἦχος Πα



μω ω ων προς ερ γα σι ι ι αν τω ω

ω ων ε εν τοο ο λωω ω ωνσου πρε

σβει ει αις της πα να χρα αν του ου ου σου

ου Μη η η τρος και πα αν τωων σου ου

των Α γι ω ω ων α μην

# Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

## Ἦχος πλ. δ' Νη




## Ἦχος δ' Πα



# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Τῇ Τρίτῃ (τοῦ Προδρόμου)

Εἰς Μνημόσυνον...

Κωνσταντίνου Πρίγγου

Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.

Ἦχος Πα — Ἔκτασις.




ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω ω ω
ω νι ι ι ι ι ι αι ω ω ω ω ω ω
ω νι ι ι ο ον ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε σται δι ι ι ι και
αι αι ο ο ο ο ο ος Αλ λη λου ου ου
ου ι ι ι α α α α α α α α
α

# 15-09-2020 ΟΡΘΡΟϹ ΤΡΙΤΗϹ ΜΕϹΟΕΟΡΤΟϹ

Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος Δι

Ει δο μεν το φως το α λη θι νον ε λα
βο με εν Πνευ μα ε που ρα α νι ον ευ ρο μεν
πι στιν α λη θη α δι αι ρε τον Τρι
α δα προ σκυ νου ου ου ουν τες αυ τη γαρ
η η μας ε σω σε ε ε ε ε εν

Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί...

Ἦχος Δι

Α μην α μην α μην εις α
φε σιν α μαρ τι ων και εις ζω ην αι
ω ω νι ον

Πλη ρω θη τω το στο μα η μων


αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

## Εἴη τό ὄνομα...

Ἦχος Δι




## Τόν Εὐλογοῦντα...



# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ




πα α κου σον των πα ρα α κα λου ουν των σε
ε ε ε ε ε ε ε ε ε

# 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με

Ἦχος Βαρύς Ζω



μυ θι ι ι αν ουκ ε χω πλη ην σου Δε ε

σποι να του κο ο ο σμου ελ πις και προ στα σι

ι α των πι στων μη μου πα ρι ι δης την

δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η

σον

## 15-09-2020 ΟΡΘΡΟΣ ΤΡΙΤΗΣ ΜΕΘΕΟΡΤΟΣ

### Μεταβολή τῶν θλιβομένων

### Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.